ιβ Εἴ τις περιφανῶς ἁμαρτάνει καὶ μὴ μετανοῶν
οὐδὲν ἔπαθεν ἕως ἐξόδου αὐτοῦ, τοῦτο
νόμιζε ἀνηλεῶς εἶναι τὴν κρίσιν·
ιγ Ὁ εὐφρόνως προσευχόμενος, ὑπομένει
τὰ ἐπερχόμενα· ὁ δὲ μνησικακῶν, οὔπω
ιδ καθαρῶς προσηύξατο· Ζημιωθεὶς ἢ ὀνει-
δισθεὶς ἢ ἐκδιωχθεὶς παρά τινος, μὴ λο-
γίζου τὸ παρόν· ἀλλὰ τὸ μέλλον ἐκδέχου·
καὶ εὑρήσεις ὅτι πολλῶν σοι ἀγαθῶν γέ-
γονε πρόξενος· οὐ μόνον ἐν τῷ παρόντι ἀ-
λλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι·
ιε Ὥσπερ τοῖς κακοσιτοῦσιν ἀψίνθιον ὠφελεῖ
τὸ πικρόν, οὕτω τοῖς κακοτρόποις κακὰ
πάσχειν συμφέρει· τοῖς μὲν γὰρ ὑγείαν ἐνταῦθα·
τοῖς δὲ, μετάνοιαν παρασκευάζει τὰ φάρμακα·
ις Εἰ μὴ θέλεις κακῶς παθεῖν, μηδὲ κακῶς ποιεῖν
θέλε· διότι τοῦτο ἐκείνῳ ἀπαραβάτως
ἀκολουθεῖ· ὃ γὰρ ἂν σπείρῃ ἕκαστος τοῦτο
ιζ καὶ θερίσει· Ἑκουσίως τὰ φαῦλα σπείροντες
καὶ ἀκουσίως αὐτὰ θερίζοντες, τὴν δικαι-

οσύνην